## 27

*Οὐδὲν {πρὸς} τὸ ἀσώματον τὸ καθ᾽ αὑτὸ ἡ τοῦ σώματος ἐμποδίζει ὑπόστασις πρὸς τὸ μὴ εἶναι ὅπου βούλεται καὶ ὡς θέλει. ὡς γὰρ τῷ σώματι τὸ ἄογκον ἄληπτον καὶ οὐδὲν πρὸς αὐτό, οὕτω τῷ ἀσωμάτῳ τὸ ἔνογκον {καὶ} ἀνεπιπρόσθητον καὶ ὡς μὴ ὂν κεῖται· οὐδὲ τοπικῶς διέρχεται τὸ ἀσώματον ὅπου βούλεται — ὄγκῳ γὰρ συνυφίστατο τόπος — | [p. 12 Mo.] οὐδὲ στενοχωρεῖται σωμάτων ὄγκῳ· τὸ γὰρ ὁπωσοῦν ἐν ὄγκῳ στενοχωρεῖσθαι ἐδύνατο καὶ τοπικῶς ἐποιεῖτο τὴν μετάβασιν, τὸ δ᾽ ἄογκον παντελῶς καὶ ἀμέγεθες ὑπὸ τῶν ἐν ὄγκῳ ἀκράτητον τοπικῆς τε κινήσεως ἄμοιρον. διαθέσει τοίνυν ποιᾷ ἐκεῖ εὑρίσκεται, ὅπου καὶ διάκειται, τόπῳ ὂν πανταχοῦ καὶ οὐδαμοῦ. διὸ ποιᾷ διαθέσει ἢ ὑπὲρ οὐρανὸν ἢ ἐν μέρει που τοῦ κόσμου κεκράτηται· ὅταν δὲ κρατηθῇ ἔν τινι μέρει τοῦ κόσμου, οὐκ ὀφθαλμοῖς ὁρᾶται, ἀλλ᾽ ἐκ τῶν ἔργων ἡ παρουσία αὐτοῦ γίνεται.*